# SEMONIDES

Samius et Amorginus
s. vii med.

*Et. Gen. / Magn.* s.v. *Σιμωνίδης· ἐπὶ τοῦ ἰαμβοποιοῦ διὰ τοῦ η γράφεται (καὶ ἴσως παρὰ τὸ σῆμα ἐστίν), ἐπὶ δὲ τοῦ λυρικοῦ διὰ τοῦ ι (καὶ ἴσως ἐπειδὴ παρὰ τὸ σιμός ἐστιν). (Χοιροβοσκός* add. *Magn.*)

Auctorum qui fragmenta donant codices ubique *Σιμ-* praebent.

*Suda* iv. 363. 1 Adler *Σιμωνίδης Κρίνεω, Ἀμοργῖνος, ἰαμβογράφος. ἔγραψεν ἐλεγείαν ἐν βιβλίοις β′, ἰάμβους. γέγονε δὲ καὶ αὐτὸς μετὰ ϙ′ καὶ υ′ ἔτη τῶν Τρωικῶν. ἔγραψεν ἰάμβους πρῶτος αὐτὸς κατά τινας.* Cf. ib. 360. 7 *Σιμμίας Ῥόδιος, γραμματικός. ἔγραψε Γλώσσας, βιβλία γ′. ποιήματα διάφορα, βιβλία δ′. ἦν δὲ τὸ ἐξ ἀρχῆς Σάμιος, ἐν δὲ τῷ ἀποικισμῷ τῆς Ἀμοργοῦ ἐστάλη καὶ αὐτὸς ἡγεμὼν ὑπὸ Σαμίων. ἔκτισε δὲ Ἀμοργὸν εἰς τρεῖς πόλεις, Μινῴαν, Αἰγιαλόν, Ἀρκεσίνην. γέγονε δὲ μετὰ υϛ′ (υϙ′* E) *ἔτη τῶν Τρωικῶν. καὶ ἔγραψε κατά τινας πρῶτος ἰάμβους, καὶ ἄλλα διάφορα, ἀρχαιολογίαν τε τῶν Σαμίων.*

Luc. *Pseudolog.* 2 *ταῦτα σοὶ καὶ αὐτὸς ἀπειλῶ, οὐ μὰ τὸν Δία τῷ Ἀρχιλόχῳ εἰκάζων ἐμαυτόν ... σοὶ δὲ μυρία συνειδὼς ἰάμβων ἄξια βεβιωμένα, πρὸς ἅ μοι δοκεῖ οὐδ' ἂν ὁ Ἀρχίλοχος αὐτὸς διαρκέσαι προσπαρακαλέσας καὶ τὸν Σιμωνίδην καὶ τὸν Ἱππώνακτα ... οὕτως σύ γε παῖδας ἀπέφηνας ἐν πάσῃ βδελυρίᾳ τὸν †Ὀροδοκίδην καὶ τὸν Λυκάμβην καὶ τὸν Βούπαλον. †Ὀροδοκίδης* (*-δοικ-* dett.; *Ὀρσο-, Οὐρολοιχίδης?*) Semonidis inimicus videtur esse.